eul_wid: ece-ad

*Θεσσαλός ὁ Κῷος* · Thessalus of Cos

# On the Virtues of Herbs

*Περὶ τῶν ἀρετῶν τῶν βοτάνων*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἰωνική* Ionic
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

2 prol 1 Διασεσαφηνισμένων οὖν σοι τῶν καθ’ ἕκαστον ζῴδιον βοτανῶν καὶ τῶν τούτων δυνάμεων ἀνάγκη καὶ τὰς καθ’ ἕκαστον τῶν ζ′ ἀστέρων παραδοῦναι ἐνεργείας καὶ διαθέσεις. Ἡλίου βοτάνη κιχώριον Πρώτη βοτάνη ἡλίου ἡ προσαγορευομένη ἡλιοτρόπιον· εἰσὶ δὲ πλείονα εἴδη ἡλιοτροπίων, ἀλλὰ τούτων πάντων ἐνεργέστατόν ἐστιν τὸ λεγόμενον κιχώριον.

2 1 2 τούτου ὁ χυλὸς μίσγεται μετὰ ῥοδίνου καὶ γίνεται σύγχρισμα. εὐθετεῖ δὲ καρδιακοῖς καὶ ἀπαλλάσσει, λύει δὲ τριταίας καὶ τεταρταίας περιόδους καὶ σὺν ἐλαίῳ δὲ ὠμῷ ἴσῳ ἴσος μιγνύμενος κεφαλαλγίας παύει.

2 1 4 εἰ δέ τις πρὸς ἀνατολὴν βλέπων χρίσει τῷ χυλῷ ἑαυτοῦ τὸ πρόσωπον ἐπικαλεσάμενος τὸν βοςλ᾿ν καὶ δεηθεὶς δοῦναι αὐτῷ χάριν, ἔσται προσφιλέστατος πᾶσιν ἀνθρώποις ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. σκευάζεται δὲ ἐκ τῆς ῥίζης {καὶ} καταπότια πρὸς καρδιακοὺς καὶ στομαχικούς, ὅσοις ὁ στόμαχος κεκάκωται {καὶ} μὴ προσιέμενος τὰς τροφάς, καὶ ἐπὶ τῶν προσλαμβανόντων μέν, ἀπεπτούντων δέ· στάχυος δρ.

2 1 5 η′, κρόκου δρ. β′, μέλιτος ποντικοῦ δρ. ιδ′, σχίνου ἄνθους δρ. ς′, ζιγγεβέρεως δρ. δ′, πεπέρεως δρ. δ′, ἀσφάλτου δρ. β′, γλυκανίσου δρ. δ′, μαστίχης δρ. δ′, τῆς ῥίζης τῆς βοτάνης δρ. κδ′. ταῦτα λεάνας ἀναλάμβανε οἰνομέλιτι ὡς παλαιοτάτῳ καὶ ποίει τροχίσκους ἄγοντας ἀνὰ δρ. α′ καὶ δίδου ἀνὰ ἕνα, τοῖς μὲν καρδιακοῖς δι’ ὕδατος, τοῖς δὲ στομαχικοῖς δι’ οἴνου καλλίστου. {Σελήνης βοτάνου} Σελήνης βοτάνη ἀγλαοφῶτις {Αὕτη ἐστὶν ἡ . [10]

2 2 1 ..} Αὕτη ἐν τῷ τῆς Ἀραβίας ἐπὶ τὸ πλεῖστον γεννᾶται κλίματι. καὶ πάσχει ὅμοιόν τι τῆς Σελήνης· αὐξανομένης γὰρ αὐτῆς αὔξεται καὶ αὐτή, ληγούσης δὲ μειοῦται. ἔστι δὲ πρὸς πλεῖστα εὔχρηστος λήγουσα {εἰς τριταίαν καὶ τεταρταίαν ἡ βοτάνη}· τῷ γὰρ χυλῷ αὐτῆς ἐὰν μετὰ ῥοδίνου συγχρίσῃς τριταΐζοντας καὶ τεταρταΐζοντας, ἀπαλλάξεις τοῦ πάθους.

2 2 3 εἰ δέ τις ὑπὸ δαιμονίου κρατεῖται οἱουδήποτε καὶ ὑποθυμιάσεις τὴν ῥίζαν αὐτῆς, φεύξεται παραυτίκα τὸ δαιμόνιον. ἐὰν δὲ 〈ἕν〉 τινι τῶν προγεγραμμένων ἀσθενειῶν αὐξανομένης τῆς Σελήνης ἐκ τῆς αὐξανομένης βοτάνης περιάψῃς ἢ ὑποθυμιάσῃς, {καὶ} τὸ πάθος μᾶλλον ἐπαύξεται.

2 2 5 ἐὰν δὲ καὶ θαλάσσῃ χειμῶνος τὴν ῥίζαν ἐπιθυμιάσῃς, τὸν χειμῶνα παύσεις. σκευάζεται δὲ καὶ ἔμπλαστρος ἐκ τῶν ῥιζῶν ἀμφοτέρων τῆς τε αὐξανομένης καὶ τῆς μειουμένης, καθάπερ ἐκ τῆς κληματίτιδος {τῆς} ἀριστολοχίας.

227 καὶ ἡ μὲν ἐκ τῆς μειουμένης ἔμπλαστρος ποιεῖ πρὸς χοιράδας καὶ παρωτίδας καὶ πάντα τὰ ἐπιγεννήματα καὶ ὑπερσαρκώματα, ἡ δὲ ἐκ τῆς αὐξανομένης πρὸς τὴν τῶν λειπόντων ἑλκῶν ἀναπλήρωσιν· ὑπάρχων δὲ συνετὸς νοεῖν δυνήσῃ, ὅτι παρὰ τὰς διαφορὰς τῆς χρήσεως πᾶν τὸ γινόμενον ἐν ἀνθρώποις πάθος σωματικὸν καὶ ψυχικὸν διὰ ταύτης δύναται τῆς ἐνεργείας αὔξεσθαι καὶ μειοῦσθαι.

23t Κρόνου βοτάνη ἀείζῳον λεγομένη Αὕτη μόνη διὰ ἑψήσεως χυλίζεται· τὴν δὲ τάξιν τοῦ χυλισμοῦ περίεργον ἐπιδεικνύναι σοι· δεῖ γὰρ αὐτὸν μέλιτος πάχος ἔχειν.

231 ποιεῖ δὲ ἡ δύναμις πρὸς ποδάγρας· εἴδη δὲ ποδάγρας εἰσὶ δύο· θερμὸν καὶ ψυχρόν. γινώσκεται δὲ τὸ ψυχρὸν ἐν τῷ ταῖς προσαγωγαῖς τῶν θερμῶν ἥδεσθαι, τὸ δὲ θερμὸν τοὐναντίον. ὅταν οὖν τὴν διαφορὰν τοῦ πάθους ἐπιγνῷς, πρὸς μὲν τὸ θερμὸν μετὰ ῥοδίνου μεμιγμένον τὸν χυλὸν χρῶ {ἤτοι} καταχρίων τοὺς πόδας· πρὸς δὲ τὸ ψυχρὸν μετὰ μύρου Συριακοῦ. [5]

233 ἐὰν δὲ ᾖ λίαν χαλεπὴ ἡ διάθεσις, πρὸς μὲν τὴν τοῦ ψυχροῦ δύναμιν πρόσμιγε καστόριον, πρὸς δὲ τὴν τοῦ θερμοῦ τοῦ χυλοῦ τῆς ἀρτεμισίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org